Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

LXXI. Missa in Apostolorum martyrio celebrata in exequiis Constantini.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

Apoſtolorum Servatoris noſtri Eccleſiam perventum eſt, arcam illic depoſuerunt. Hunc in modum novus Imperator Conſtantius, tum adventu ſuo, tum reliquis officiis patri honorem exhibẽs, juſta ut par erat perſolvit.

## CAPUT LXXI.

*Miſſa in Apoſtolorum Martyrio celebrata in exequiis Conſtantini.*

VBi verò ille cum militaribꝰ numeris abceſſit, miniſtri Dei cum turbis & tota fidelium plebe, in medium prodiere, & divini cultus cæremonias precationibus peregerunt. Ac beatus quidẽ princeps alto in ſuggeſtu jacens, laudibus tum celebrabatur. Innumerabilis autem populus una cum ſacerdotibus Dei, non ſine gemitu ac lacrymis, pro Imperatoris anima preces offerebant Deo; gratiſſimum pio Principi officium exhibentes. Porro in hoc etiam Deus prolixam erga famulum ſuum benevolentiam declaravit: quippe qui cariſſimis ac germanis ejus filiis paterni Imperii ſucceſſionẽ tribuerit; & quod maximè ambierat, locum juxta Apoſtolorum memoriam ei conceſſerit; ut ſcilicet beatiſſimæ illiꝰ animæ tabernaculũ Apoſtolici nominis atque honoris conſortio frueretur; & populo Dei in Eccleſia ſociaretur; diviniſque ceremoniis ac myſtico ſacrificio, & ſanctarum precum communione potiri mereretur: ipſe verò etiam poſt mortem Imperium retinens, quaſi redivivus univerſum orbem gubernans, Victor Maximus Auguſtus, ſuo adhuc nomine Rempublicam regeret.

## CAPUT LXXII.

*De Phœnice ave.*

NOn quẽadmodum avis illa Aegyptia; quæ cum ejus generis unica ſit, ſuper aromatum cumulo emori dicitur, ſeipſam quaſi victimam immolans: moxque ex ipſis favillis renaſci, & pennis in altum ſubvecta, eadem qua prius ſpecie cerni: ſed potius exemplo Servatoris ſui; qui inſtar tritici ſati, ex uno ſemine in multa ſeſe diffundens, ope ac benedictione Dei ſpicam protulit, & univerſum terrarum orbem fructibus ſuis implevit. Ad hunc modum beatiſ-

A νεὼν παρῆσαν, ἐνταυθοῖ τὴν λάρνακα δ[…]παυον. καὶ βασιλεὺς μὲν νέος Κωνστάντιος τα-πη κοσμῶν τὸν πατέρα, τῇ τε παρουσίᾳ, καὶ τοῖς εἰς αὐτὸν καθήκουσι, τὰ τῆς πρεπούσης ὁσίας ἀπεπλήρου.

## Κεφ. ΟΑ'.

Σύναξις ἐν τῷ καλουμένῳ μαρτυρείῳ τῶν Ἀποστόλων ἐπὶ τῇ Κωνσταντίνου τελευτῇ.

ΕΠεὶ δ' ὑπεχώρει σὺν τοῖς στρατιωτικοῖς τάγμασι, μέσοι δὴ παρῄεσαν οἱ τοῦ Θεοῦ B λειτουργοί, σὺν αὐτοῖς πλήθεσι, πανδήμῳ τε θεοσεβείας λαῷ. τά τε τῆς ἐνθέου λατρείας δι' εὐχῶν ἀνεπλήρουν. ἔνθα δὴ ὁ μὲν μακάριος ἀνακείμενος ἐφ' ὑψηλῆς κρηπῖδος ἐδοξάζετο. ὁ λαὸς δὲ παμπληθὴς σὺν τοῖς τῷ Θεῷ ἱερωμένοις, οὐ δακρύων ἐκτὸς, σὺν κλαυθμῷ δὲ πλείονι, τὰς εὐχὰς ὑπὲρ τῆς βασιλέως ψυχῆς ἀπεδίδοσαν τῷ Θεῷ, τὰ καταθύμια τῷ θεοφιλεῖ πληροῦντες· καὶ τούτῳ τοῦ Θεοῦ πρὸς τὸν αὐτοῦ θεράποντα εὐμένειαν ἐνδειξαμένου. ὅτι δὴ καὶ [μετὰ] τέλος αὐτοῦ τοῖς ἀγαπητοῖς καὶ γνησίοις υἱοῖς διαδόχοις τὴν βασιλείαν ἐδωρεῖτο. καὶ τὰ C σπουδασθέντα αὐτῷ σὺν τῇ τῶν ἀποστόλων κατηξιοῦτο μνήμῃ, τὸ τῆς τρισμακαρίας ψυχῆς σκῆνος, τῷ τῶν ἀποστόλων προσρήματι συνδοξαζόμενον, καὶ τῷ τοῦ Θεοῦ λαῷ συναγελαζόμενον, θεσμῶν τε θείων καὶ μυστικῆς λειτουργίας ἀξιούμενον, καὶ κοινωνίας ὁσίων ἀπολαῦον εὐχῶν· αὐτὸς δὲ τῆς βασιλείας [καὶ] μετὰ θάνατον ἐπειλημμένος, ὥσπερ οὖν ἐξ ἀναβιώσεως τὴν σύμπασαν ἀρχὴν διοικῶν, νικητὴς Μέγιστος. Σεβαστὸς αὐτῷ προσρήματι τῆς ῥωμαίων ἡγεμονίας κρατεῖ.

## Κεφ. ΟΒ'. D

Περὶ Φοίνικος ὄρνεου.

ΟΥ κατὰ τὸν Αἰγύπτιον ὄρνιν· ὃν δὴ φασὶ μονογενῆ ὄντα τὴν φύσιν, θνήσκειν μὲν ἐπ' ἀρωμάτων, αὐτὸν αὐτῷ τὴν τελευτὴν θυηπολοῦντα. ἀναβιώσκειν δ' ἐξ αὐτῆς σποδιᾶς, καὶ ἀναπτάντα τοιοῦτον οἷος καὶ πρότερον ἦν φῦναι κ[…] δὲ τὸν αὐτοῦ σωτῆρα. ὃς τῷ τοῦ πυροῦ σπέρματι παραπλησίως ἀνθ' ἑνὸς πολυπλασιαζόμενος, σὺν εὐλογίᾳ Θεοῦ παρεῖχε τὸν στάχυν, καὶ τὴν σύμπασαν οἰκουμένην τῶν αὐτοῦ κατενέπιμπλα καρπῶν· τούτῳ οὖν ἐμφερῶς ὁ τρισ-